col 34 (28) πόλιν κυβερνᾶι,
Εὐνομία τε σαόφ|ρων,
ἃ θαλίας τε λέλογχεν
ἄστεά τ᾽ εὐσεβέων
ἀνδρῶν ἐν εἰ[ρ]ήνᾶι φυλάσσε̣ι·
νίκαν τ᾽ ἐρικυ[δέα] μέλπετ᾽, ὦ νέοι,
Π]υθέα, μελέτα̣[ν τε] βροτω-
φ[ε]λέα Μενάνδρου,
τὰν ἐπ᾽ Ἀλφειοῦ τε ῥο[αῖς] θ̣α̣μὰ δὴ
τίμασεν ἁ χρυσάρματος
σεμνὰ μεγάθυμος Ἀθάνα,
μυρίων τ᾽ ἤδη μίτραισιν ἀ̣ν̣έ̣ρων
ἐστεφάνωσεν ἐθείρας
ἐν Πανελλάνων ἀέθ|λοις.

Ζ′ ε]ἰ μή τινα θερσι̣[ε]πὴς
φθόνος βιᾶται,
α̣ἰνείτω σοφὸν ἄνδρα
σ̣ὺν δίκᾱι. βροτῶν δὲ μῶμος
πάντεσσι μέν ἐστιν ἐπ᾽ ἔργοι[ς·
ἁ̣ δ᾽ ἀλαθεία φιλεῖ
νικᾶν, ὅ τε πανδ[α]μάτω[ρ
χρόνος τὸ κᾱλῶς
ἐ]ργμένον αἰὲν ἀ[έξει·
δ˩υ̣˪σ˩μ̣ενέ˪ω˩ν δὲ μα[ταία
γλῶσσ᾽] ˪ἀϊδ˩ὴς μιν[ύθει
(desunt vv. X)
col 35 (29) ἐλπίδι θυμὸν ἰαίν[-